ὥσπερ ἀνοικονόμητος ἄνθρωπος ἀθρόως ἐκχέαντα τὴν περιουσίαν γυμνὰ καὶ πτωχὰ καταλείπεται, διὰ τί δὲ τὰ μὲν προμήκεις τὰ δὲ γωνιώδεις τὰ δὲ στρογγύλους καὶ περιφερεῖς ἐκδίδωσι καρπούς. ἴσως δὲ ταῦτ᾽ οὐ πολυπραγμονήσεις, ὅτι τούτοις οὐθὲν κακὸν ἔνεστιν. ἀλλ᾽ εἰ δεῖ πάντως τὸ περίεργον ἐν φαύλοις τισὶν ὥσπερ ἑρπετὸν ἐν θανασίμοις ὕλαις ἀεὶ νέμεσθαι καὶ διατρίβειν, ἐπὶ τὰς ἱστορίας ἀγάγωμεν αὐτὸ καὶ παραβάλωμεν ἀφθονίαν κακῶν καὶ περιουσίαν. ἐνταῦθα γὰρ ἔνεισι

'πεσήματ᾽ ἀνδρῶν καὶ ἀπολακτισμοὶ βίων'
(Aesch. Suppl. 937),

F φθοραὶ γυναικῶν, ἐπιθέσεις οἰκετῶν, διαβολαὶ φίλων, παρασκευαὶ φαρμάκων, φθόνοι, ζηλοτυπίαι, ναυάγι᾽ οἴκων, ἐκπτώσεις ἡγεμονιῶν· ἐμπίπλασο καὶ τέρπε σαυτὸν ἐνοχλῶν μηδενὶ τῶν συνόντων μηδὲ λυπῶν.

**6.** Ἀλλ᾽ ἔοικεν ἡ πολυπραγμοσύνη μὴ χαίρειν ἑώλοις κακοῖς ἀλλὰ θερμοῖς καὶ προσφάτοις καὶ καινὰς τραγῳ-
518 δίας ἡδέως θεᾶσθαι, | τοῖς δὲ κωμικοῖς καὶ ἱλαρωτέροις πράγμασιν οὐ μάλα προθύμως ὁμιλεῖν. διὸ γάμον μέν τινος ἢ θυσίαν ἢ προπομπὴν διεξιόντος ἀμελὴς ὁ πολυπράγμων καὶ ῥᾴθυμος ἀκροατής ἐστι, καὶ προακηκοέναι τὰ πλεῖστά φησι καὶ κελεύει ταῦτα συντέμνειν καὶ παρέρχεσθαι τὸν διηγούμενον· ἂν δ᾽ ἢ φθοράν τις παρθένου παρακαθήμενος ἢ μοιχείαν γυναικὸς ἢ δίκης παρασκευὴν ἢ στάσιν ἀδελφῶν διηγῆται, οὔτε νυστάζει οὔτ᾽ ἀσχολεῖται, 'ἄλλα τε δίζηται ἐπέων παρά τ᾽ οὔατα βάλλει.' καὶ τὸ (Tr. adesp. 386)